4 γίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν, 4οἱ καθεύδοντες ἐπὶ
κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐ-
τῶν καὶ ἔσθοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου
5 βουκολίων γαλαθηνά, 5οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀρ-
6 γάνων ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα· 6οἱ πίνοντες
τὸν διυλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι καὶ οὐκ ἔπα-
7 σχον οὐδὲν ἐπὶ τῇ συντριβῇ Ιωσηφ. 7διὰ τοῦτο νῦν αἰχμάλωτοι
ἔσονται ἀπ᾿ ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων
8 ἐξ Εφραιμ. 8ὅτι ὤμοσεν κύριος καθ᾿ ἑαυτοῦ Διότι βδελύσσομαι
ἐγὼ πᾶσαν τὴν ὕβριν Ιακωβ καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ
9 ἐξαρῶ πόλιν σὺν πᾶσιν τοῖς κατοικοῦσιν αὐτήν· 9καὶ ἔσται ἐὰν
ὑπολειφθῶσιν δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται, καὶ ὑπο-
10 λειφθήσονται οἱ κατάλοιποι, 10καὶ λήμψονται οἱ οἰκεῖοι αὐτῶν καὶ
παραβιῶνται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου· καὶ ἐρεῖ
τοῖς προεστηκόσι τῆς οἰκίας Εἰ ἔτι ὑπάρχει παρὰ σοί; καὶ ἐρεῖ
Οὐκέτι· καὶ ἐρεῖ Σίγα, ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα κυρίου.
11 11διότι ἰδοὺ κύριος ἐντέλλεται καὶ πατάξει τὸν οἶκον τὸν μέγαν
12 θλάσμασιν καὶ τὸν οἶκον τὸν μικρὸν ῥάγμασιν. 12εἰ διώξονται ἐν
πέτραις ἵπποι; εἰ παρασιωπήσονται ἐν θηλείαις; ὅτι ὑμεῖς ἐξεστρέ-
13 ψατε εἰς θυμὸν κρίμα καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν, 13οἱ
εὐφραινόμενοι ἐπ᾿ οὐδενὶ λόγῳ, οἱ λέγοντες Οὐκ ἐν τῇ ἰσχύι ἡμῶν
14 ἔσχομεν κέρατα; 14διότι ἰδοὺ ἐγὼ ἐπεγείρω ἐφ᾿ ὑμᾶς, οἶκος τοῦ
Ισραηλ, ἔθνος, καὶ ἐκθλίψουσιν ὑμᾶς τοῦ μὴ εἰσελθεῖν εἰς Εμαθ
καὶ ἕως τοῦ χειμάρρου τῶν δυσμῶν.
7 1Οὕτως ἔδειξέν μοι κύριος καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη
2 ἑωθινή, καὶ ἰδοὺ βροῦχος εἷς Γωγ ὁ βασιλεύς. 2καὶ ἔσται ἐὰν συν-
τελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα Κύριε κύριε,
3 ἵλεως γενοῦ· τίς ἀναστήσει τὸν Ιακωβ; ὅτι ὀλιγοστός ἐστιν· 3με-
τανόησον, κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐκ ἔσται, λέγει κύριος.
4 4Οὕτως ἔδειξέν μοι κύριος καὶ ἰδοὺ ἐκάλεσεν τὴν δίκην ἐν πυρὶ
κύριος, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλὴν καὶ κατέφαγεν τὴν
5 μερίδα. 5καὶ εἶπα Κύριε κύριε, κόπασον δή· τίς ἀναστήσει τὸν
6 Ιακωβ; ὅτι ὀλιγοστός ἐστιν· 6μετανόησον, κύριε, ἐπὶ τούτῳ. Καὶ
τοῦτο οὐ μὴ γένηται, λέγει κύριος.

4 μεσου > A || 5 εστωτα] εστηκοτα BV† || 8 οτι] διοτι W† | διοτι] οτι A | αυτου] -των A || 9 ανδρες > BVW† | και 2⁰ > AL | 10 οι οικειοι] + οι B† | παραβιωνται] οι παραβιωται A || 11 ραγμασιν BQ] ρηγμ. ALC || 12 υμεις AQW(uid.)] > BLC || 14 οικος του ισρ. AQW(cf. 1)] του > BLC: cf. 3 1 5 1. 25 etc. | εθνος] + λεγει κυριος των δυναμεων BV†, pr. ※λεγει κυριος ο θεος των δυναμεων O, pr. φησι κυριος ο θεος στρατιων LC | εως] ως B†

7 1 κυριος] + ο θεος BV†, + κυριος C†: cf. 4 (bis). 6 || 4 κυριος 1⁰] + ο θεος A, + κυριος C†: cf. 1 | κυριος 2⁰] + ο θεος L, + κυριος C†: cf. 1 | fin.] + κυριου B || 5 κυριε 2⁰ > B || 6 κυριος] + ο θεος L†, + κυριος C†: cf. 1

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/512 UNIVERSITÄT LEIPZIG